www.tezaurliturgic.ro

*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος*
*(Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)*

*****************************************************************

Δρος Χαραλάμπους Μ. Μπούσια
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ ΑΠΟΣΤΟΛΟΥ

# ΒΑΡΘΟΛΟΜΑΙΟΥ

*

*

*     *     *     *     *

*

*

Ἀθῆναι 2010

# ΑΚΟΛΟΥΘΙΑ

**ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ ΑΠΟΣΤΟΛΟΥ**

# ΒΑΡΘΟΛΟΜΑΙΟΥ

**Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΙΑ΄ Ἰουνίου καὶ ἡ τῆς ἀνακομιδῆς τῶν σεπτῶν αὐτοῦ λειψάνων τῇ ΚΕ΄ Αὐγούστου.**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

*********************

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.**

Βαρθολομαῖον τὸν θεῖον
ἐγκωμιάσωμεν,
τὸν Γαλλιλαῖον ἄνδρα
καὶ περίλαμπρον γόνον
Κανᾶ, ὡς Ἀποστόλων ὑπογραμμόν,
παῤῥησίᾳ τὸν Κύριον
ὁμολογήσαντα Λόγον Θεοῦ σεπτὸν
τοῦ Φιλίππου κατενώπιον.

Ἰσραηλίτην ἐκθύμως
σεπτὸν καὶ ἄδολον
κατὰ Χριστοῦ τὸ ῥῆμα,
πάνυ Βαρθολομαῖον
τιμήσωμεν οἱ δῆμοι τῶν εὐσεβῶν
οἰκουμένης ὡς κήρυκα
καὶ φωτιστὴν Ἀρμενίας θεοειδῆ
καὶ Ἰνδίας ὕμνοις πρέπουσι.

Τὸν ὑπομείναντα πόθῳ
Σταυρὸν ὡς Κύριος,
Βαρθολομαῖον, πάντες
καταστέψωμεν ὕμνων
λειρίοις Ἀποστόλων ὡς κορυφὴν

καὶ φωστῆρα ὑπέρλαμπρον
τῆς οἰκουμένης φωτίσαντα ταῖς αὐγαῖς
λόγων κτίσεως τὰ πέρατα.

Ὃν Παντογνώστης ὡς εἶδε
Χριστὸς ὁ Κύριος
καρδίας τοῖς βλεφάροις
τῆς συκῆς ὑποκάτω
καθήμενον οἱ δῆμοι τῶν εὐσεβῶν
εὐφημήσωμεν κράζοντες·
Βαρθολομαῖε, θεόπνευστε μαθητά,
χαῖρε, Λόγου τοῦ Παντάνακτος.

**Δόξα. Ἦχος β΄.**

Τὸν δεξάμενον τὴν χάριν τοῦ Παναγίου Πνεύματος
ἐν ὑπερῴῳ τόπῳ κατὰ τὴν ἡμέραν τῆς Πεντηκοστῆς
καὶ Χριστοῦ τὴν πίστιν κηρύξαντα ἐν τοῖς ἔθνεσι,
Βαρθολομαῖον, ὡς Αὐτοῦ τῶν παθημάτων ὁμόζηλον
τιμήσωμεν καὶ ἐν εὐλαβείᾳ αὐτῷ βοήσωμεν·
Ἀπόστολε πνευματέμφορε,ὁ φίλεργος ἐργάτης τοῦ
Εὐαγγελίου τῆς ἀγάπης,ἄνοιξον ἡμῶν τὰ ὄμματα τῶν
καρδιῶν γνῶναι τὴν ἀλήθειαν καὶ ὁδήγησον τὰ
βήματα ἡμῶν εἰς μίμησιν τῶν κατορθωμάτων σου.

**Καὶ νῦν. Θεοτοκίον.** Τὴν πᾶσαν ἐλπίδα μου....
**Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Χαῖρε, ὁ μαθητὴς
Χριστοῦ, Βαρθολομαῖε,
ὁ ἄδολος τοῖς τρόποις,
ὁ τοῦ Σταυροῦ τὸ πάθος
Κυρίου μιμησάμενος.

**Στίχος.** Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος
αὐτοῦ.

Δεῦτε, τὸν εὐλαβῆ
τῆς Γαλιλαίας γόνον,
θεόπνουν Κανανίτην,
εὐτάκτοις μελῳδίαις,
Βαρθολομαῖον, μέλψωμεν.

**Στίχος.** Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

**Χ**αῖρε, ἡ λαμπηδὼν
Ὑψίστου Ἀποστόλων,
σεπτοῦ Εὐαγγελίου
ἡδύχορδος κιθάρα,
Βαρθολομαῖε πάνσοφε.

**Δόξα. Τριαδικόν.**

**Π**ρόσδεξαι εὐμενῶς
πιστῶν δοξολογίαν,
Τριὰς ὑπεραγία,
Βαρθολομαῖον ὕμνοις
αἰνούντων τὸν Ἀπόστολον.

**Καὶ νῦν. Θεοτοκίον.**

**Ῥ**ύου ἡμᾶς κακῶν
καὶ ἀναγκῶν παντοίων,
Κυρία Θεοτόκε,
ὡς σκέπην σε ὑμνοῦντας
πιστῶν καὶ καταφύγιον.

Νῦν ἀπολύεις....**τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.**

*************************************

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος δ´. Ἔδωκας σημείωσιν.**

**Ε**ὔφημε Ἀπόστολε,
Βαρθολομαῖε θειότατε,
τῆς Κανᾶ γόνε πάνσεπτε,
Φιλίππου συνέκδημε,
Πνεύματος κινύρα,
ὁ ὁμολογήσας
Χριστὸν Θεοῦ εἶναι υἱὸν
καὶ ὑπομείνας Σταυρὸν καὶ θάνατον

www.tezaurliturgic.ro


διὰ τὸ Εὐαγγέλιον
τὸ ἱερὸν καὶ σωτήριον,
τοῦτο πόθῳ ἐκήρυξας
οἰκουμένης ἐν πέρασι.

Ἄδολε καὶ ἄμεμπτε
Ἰσραηλῖτα, κατεῖδέ σε
ὑποκάτω καθήμενον
συκῆς ὁ Θεάνθρωπος
τῆς ψυχῆς βλεφάροις,
ὁ γιγνώσκων πάντα
ἐνδόμυχα τῶν καρδιῶν,
Βαρθολομαῖε πνευματοφόρητε,
ὁ παῤῥησίᾳ Κύριον
ὁμολογήσας τὸν εὔσπλαγχνον
βασιλέα περίδοξον
Ἰσραήλ, ἐνθεώτατε.

Χαίρων ἠκολούθησας
Χριστῷ εὐθὺς ὥσπερ ἤκουσας
παρ' Αὐτοῦ ὅτι εἶδέ σε
καθήμενον, ἔνθεε,
σὲ προτοῦ γνωρίσαι
ὑποκάτω δένδρου
συκῆς καὶ δήμῳ μαθητῶν
συνηριθμήθης Αὐτοῦ, πανεύφημε
Βαρθολομαῖε, σκήνωμα
τοῦ Παρακλήτου πανίερον
καὶ περίλαμπρον κλέϊσμα
Ἀποστόλων τοῦ Κτίσαντος.

Πίστει ἐμαθήτευσας,
Βαρθολομαῖε ἀοίδιμε,
Ἀποστόλων ἀκρώρεια,
παρὰ τῷ οἰκτίρμονι
Λόγῳ τοῦ Ὑψίστου
σὺν τῇ ὁμηγύρει
τῶν Γαλιλαίων μαθητῶν,
ἐν ὑπερῴῳ μεθ' ὧν καθήμενος
Σιὼν ἐδέξω Πνεύματος
τοῦ Παναγίου τὴν ἔλλαμψιν
συμπληροῦντος ἐλλείποντα.
καὶ ἀσόφους σοφίζοντα.

Θεῖον Εὐαγγέλιον
λαῷ Ἰνδίας ἐγνώρισας,
θεοφόρε Ἀπόστολε,
Φιλίππῳ παμφίλτατε,
Μεσοποταμίας
καὶ τῆς Ἀρμενίας,
Βαρθολομαῖε θαυμαστέ,
ἐν ᾗ τὰ πάθη Χριστοῦ ἐζήλωσας
καὶ σταύρωσιν ὑπέμεινας
διὰ τὴν μόνην ἀλήθειαν,
Ἰησοῦν, Ὃν ἠγάπησας
ἐκ μυχίων καρδίας σου.

Σκῆνός σου τὸ ἅγιον
ῥιφὲν εἰς ὕδωρ θαλάττιον
ὑπὸ θείας δυνάμεως
σεπτῶς κυβερνώμενον
Λιπαρὰς εἰς νήσους
ξένως προσωρμίσθη,
Βαρθολομαῖε, τὰς ἐγγὺς
τῆς Σικελίας, ἃς καθηγίασας
αὐτῷ καὶ ἃς ἀείποτε
διαφυλάττεις ἐκ κλύδωνος,
συμφορῶν καὶ στενώσεων
κατωδύνων, Ἀπόστολε.

**Δόξα. Ἦχος πλ. β΄.**

Ὁ μὴ πιστεύων ὅτι ἐκ Ναζαρὲτ καλόν τι προέρχεται
εὐθὺς ὡς τὸν Ναζωραῖον ἐγνώρισας
Αὐτῷ ἠκολούθησας ὁλοθύμως, Βαρθολομαῖε Ἀπόστολε·
Μαθητεύσας οὖν παρ' Αὐτῷ καὶ αὐτόπτης καὶ
αὐτήκοος τῶν θαυμάτων καὶ τῶν λόγων Αὐτοῦ
γενόμενος ὑπὲρ Αὐτοῦ ἀθλῆσαι κατηξιώθης·
ὅθεν σήμερον τὴν μνήμην σου ἑορτάζοντες
καὶ τοὺς τιμίους καμάτους σου
πρὸς διάδοσιν τοῦ Εὐαγγελίου τῆς ἀγάπης σου
μεγαλύνοντες τὰς θεοπειθεῖς εὐχάς σου αἰτούμεθα
πρὸς βίον κρείττονα καὶ ζωὴν τὴν ἐν πόλῳ
αἰωνίζουσαν.

**Καὶ νῦν. Θεοτοκίον.** Τίς μὴ μακαρίσει σε,Παναγία
Παρθένε,...

www.tezaurliturgic.ro


**Εἴσοδος.** Φῶς ἱλαρόν. **Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.**

**Καθολικῆς Α΄ Ἐπιστολῆς Ἰωάννου τὸ Ἀνάγνωσμα. (Κεφ. γ΄ 21 – δ΄ 6)**

Ἀγαπητοί, ἐὰν ἡ καρδία ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παῤῥησίαν ἔχομεν πρὸς τὸν Θεόν. Καὶ ὃ ἐὰν αἰτῶμεν λαμβάνομεν παρ' αὐτοῦ, ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν. Καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύσωμεν τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ καὶ ἀγαπῶμεν ἀλλήλους καθὼς ἔδωκεν ἐντολήν. Καὶ ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ ἐν αὐτῷ μένει καὶ αὐτὸς ἐν αὐτῷ. Καὶ ἐν τούτῳ γινώσκομεν ὅτι μένει ἐν ἡμῖν, ἐκ τοῦ Πνεύματος οὗ ἡμῖν ἔδωκεν.

Ἀγαπητοί, μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα εἰ ἐκ τοῦ Θεοῦ ἐστιν, ὅτι πολλοὶ ψευδοπροφῆται ἐξεληλύθασιν εἰς τὸν κόσμον. Ἐν τούτῳ γινώσκετε τὸ πνεῦμα τοῦ Θεοῦ· πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ ἐστι· καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ τὸν Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ οὐκ ἐστι· καὶ τοῦτό ἐστι τὸ τοῦ ἀντιχρίστου, ὃ ἀκηκόατε ὅτι ἔρχεται καὶ νῦν ἐν τῷ κόσμῳ ἐστὶν ἤδη. Ὑμεῖς ἐκ τοῦ Θεοῦ ἐστε, τεκνία, καὶ νενικήκατε αὐτούς, ὅτι μείζων ἐστιν ὁ ἐν ὑμῖν ἢ ὁ ἐν τῷ κόσμῳ. Αὐτοὶ ἐκ τοῦ κόσμου εἰσί. Διὰ τοῦτο ἐκ τοῦ κόσμου λαλοῦσι καὶ ὁ κόσμος αὐτῶν ἀκούει. Ἡμεῖς ἐκ τοῦ Θεοῦ ἐσμεν· ὁ γινώσκων τὸν Θεὸν ἀκούει ἡμῶν· ὃς οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ οὐκ ἀκούει ἡμῶν. Ἐκ τούτου γινώσκομεν τὸ Πνεῦμα τῆς ἀληθείας καὶ τὸ πνεῦμα τῆς πλάνης.

**Καθολικῆς Α΄ Ἐπιστολῆς Ἰωάννου τὸ Ἀνάγνωσμα. (Κεφ. δ΄ 11 -15)**

Ἀγαπητοί, εἰ οὕτως ὁ Θεὸς ἠγάπησεν ἡμᾶς, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν. Θεὸν οὐδεὶς πώποτε τεθέαται· ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐστὶν ἐν ἡμῖν. Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ

δέδωκεν ἡμῖν. Καὶ ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν ὅτι ὁ πατὴρ ἀπέσταλκε τὸν υἱὸν σωτῆρα τοῦ κόσμου. Ὃς ἐὰν ὁμολογήσῃ ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει καὶ αὐτὸς ἐν τῷ Θεῷ.

**Καθολικῆς Α´ Ἐπιστολῆς Ἰωάννου τὸ Ἀνάγνωσμα. (Κεφ. δ´ 20 –ε´ 5)**

Ἀγαπητοί, ἐάν τις εἴπῃ ὅτι ἀγαπῶ τὸν Θεὸν καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν· ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφόν, ὃν ἑώρακε, τὸν Θεὸν ὃν οὐχ ἑώρακε πῶς δύναται ἀγαπᾶν; καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ' αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν Θεὸν ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ.

Πᾶς ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστός, ἐκ τοῦ Θεοῦ γεγέννηται καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ αὐτοῦ. Ἐν τούτῳ γινώσκομεν ὅτι ἀγαπῶμεν τὰ τέκνα τοῦ Θεοῦ, ὅταν τὸν Θεὸν ἀγαπῶμεν καὶ τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. Αὕτη γάρ ἐστι ἡ ἀγάπη τοῦ Θεοῦ, ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν· καὶ ἐν ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσίν, ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τοῦ Θεοῦ νικᾷ τὸν κόσμον· καὶ αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν. Τίς ἐστιν ὁ νικῶν τὸν κόσμον εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ;

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

### Ἰδιόμελα

**Ἦχος α´.**

Εὐφραίνου ἐν Κυρίῳ ἡ τῶν φιλεόρτων ὁμήγυρις
τελοῦσα τὴν μνήμην τοῦ ὁμολογητοῦ τῆς θεότητος
τοῦ Θεανθρώπου καὶ Ἀποστόλου τῆς οἰκουμένης,
Βαρθολομαίου τοῦ μακαρίου καὶ αὐτῷ ἐν εὐλαβείᾳ
βόησον·Γαλιλαίας ἄνερ τιμιώτατε καὶ ἄδολε,
ὁ κῆρυξ τῆς εὐαγγελικῆς ἀληθείας ἄχρι μαρτυρίου.
μὴ παύσῃ Χριστὸν ἡμῖν ἱλεούμενος τοῖς ἀνυμνοῦσι
προθύμως τοῦ βίου σου σκάμματα.

**Ἦχος β´.**

Τὸν ἀκολουθήσαντα Χριστῷ σὺν Φιλίππῳ
καὶ κατιδόντα τὴν Αὐτοῦ θαυματουργίαν, κηρυκτικὴν
δρᾶσιν,σταυρικὴν θυσίαν καὶ ἐξανάστασιν,

www.tezaurliturgic.ro


τὸν δεξάμενον ἐν Σιὼν τὸ γλωσσοπυρσόμορφον Πνεῦμα
καὶ δι’ Αὐτοῦ φωτίσαντα πᾶσαν τὴν οἰκουμένην,
Βαρθολομαῖον τὸν θειότατον, εὐφημήσωμεν·
οὗτος γὰρ πολλὰ παθὼν ἐν τῇ κηρύξει τοῦ Εὐαγγελίου
καὶ σταυρικὸν ὑπομείνας θάνατον
μαρτυρικὸν εἴληφε στέφος καὶ χάριν πρεσβεύειν ὑπὲρ
τῶν τιμώντων αὐτοῦ τὴν ἐνάθλησιν.

**Ἦχος γ΄.**

**Μ**αρτυρικῶς ὑπὸ Ἀστυάγου ἐν Οὐρβανουπόλει
τελευτήσας κατεστόλισας σοῖς αἵμασι τοὺς
ἀποστολικούς σου πόδας,Βαρθολομαῖε πανεύφημε·
ὅθεν σήμερον τὴν μνήμην σου ἑορτάζοντες
τὴν ἀποστολικήν σου δρᾶσιν μεγαλύνομεν
καὶ Χριστὸν δοξάζομεν τὸν παρέχοντα ἡμῖν εὐχαῖς
σου τὸ ἄμετρον ἔλεος.

**Ἦχος δ΄.**

**Π**εριοδεύσας σὺν Φιλίππῳ καὶ Μαριάμνῃ τὴν Μικρὰν
Ἀσίαν ἐν Ἱεραπόλει ὑπὸ τῶν σῶν ἀστραγάλων
ἐκρεμάσθης,ἔνθα ὁ Φίλιππος μαρτυρικῶν ἠξιώθη
στεφάνων,καὶ ἐν Ἀρμενίᾳ σταυρόν, ὡς ὁ Κύριος,
καθυπέμεινας,Βαρθολομαῖε Ἀπόστολε·
ὅθεν ὡς μάρτυρα Κυρίου ὑμνοῦντές σε
καὶ ὡς σπορέα τῆς εὐσεβείας μεγαλύνοντες
τὰς ἀδιαλείπτους σου εὐχὰς ἐξαιτούμεθα
πρὸς ἀρετῆς ὁλοκλήρωσιν.

**Δόξα. Ὁ αὐτός.**

**Ἀ**πόστολε καὶ Μάρτυς, Βαρθολομαῖε,
ὁ ἐπὶ σταυροῦ τὸ ζῆν ἐκμετρήσας,
χάριν ἰαμάτων εἴληφας καὶ πρεσβευτὴς τῶν τιμώντων
σε γέγονας θερμότατος·ὅθεν τὴν μνήμην σου
περιχαρῶς ἑορτάζοντες ὡς Εὐαγγελίου κήρυκα
θεόπνευστον μακαρίζομεν καὶ πιστῶν ἐν δεινοῖς
προστάτην καὶ πρόμαχον.

**Καὶ νῦν. Θεοτοκίον.**

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε,...

www.tezaurliturgic.ro


**Εἰς τὸν Στίχον. Στιχηρὰ Ἀπόστιχα.**
**Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.**

**Χ**αίροις, Βαρθολομαῖε σεπτέ,
ὁ Γαλιλαῖος μαθητὴς τοῦ Παντάνακτος,
ὁ ἔνθεος Κανανίτης,
Ἰσραηλίτης σεμνός,
ἄδολος καὶ σώφρων,
φίλος γνήσιος
Φιλίππου καὶ ἄοκνος
χριστοκῆρυξ, ἀλήθειαν
ἐν τῇ Ἀσίᾳ
τῇ Μικρᾷ, Ἀρμενίᾳ τε
καὶ τοῖς πέρασι
τῆς Ἰνδίας, πανεύφημε,
ὅλαις σου ταῖς δυνάμεσι
κηρύξας πρὸς κράτυνσιν
Εὐαγγελίου τοῦ θείου
καὶ τοῦ ἁγίου ὀνόματος
Χριστοῦ τοῦ Σωτῆρος,
τοῦ παρέχοντος τῷ κόσμῳ
τὸ μέγα ἔλεος.

**Στίχος.** Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

**Χ**αίροις, ὁ μαργαρίτην εὑρὼν
τὸν πολυτίμητον, Ἀπόστολε πάντιμε
Κυρίου, Βαρθομολαῖε,
τὸν Λόγον τοῦ Πλαστουργοῦ
ἐν τῇ Γαλιλαίᾳ, προερχόμενον
δυσφήμου ἐκ πόλεως,
Ναζαρέτ, ἣν ἀνέδειξεν
εὔσημον πᾶσι,
Ναζωραῖον Θεάνθρωπον,
Οὗ ἐθαύμασας
τὴν διόρασιν, πάνσοφε,
καὶ Ὅνπερ ὡμολόγησας
εὐθὺς μέγαν ἄνακτα
τοῦ Ἰσραήλ, καὶ προθύμως
τὸ ἱερὸν Εὐαγγέλιον
ἐν πᾶσι τῇ κτίσει
Οὗ ἐκήρυξας, θεόφρον,
ἄχρις ἀθλήσεως.

www.tezaurliturgic.ro


**Στίχος.** Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

**Χ**αίροις, ὁ σὺν Φιλίππῳ σεπτῷ
καὶ Μαριάμνῃ τῇ πανάγνῳ ὁμαίμονι
αὐτοῦ εἰς Μικρὰν Ἀσίαν,
Βαρθολομαῖε, Χριστοῦ
ὄνομα κηρύξας
τὸ πανάγιον
καὶ κρέμασιν ἔμπονον,
μάκαρ, ἐξ ἀστραγάλων σου
καθυπομείνας
σὺν αὐτοῖς, καρτερόψυχε,
ἀλλὰ χάριτι
σῶος μείνας τοῦ Πνεύματος,
ἵνα τὸ φῶς τῆς πίστεως
ἀνάψῃς, μακάριε,
ἐν ἐνδοτέρᾳ Ἰνδίᾳ
καὶ Ἀρμενίᾳ, ὁμόζηλος
ἐν ᾗ τοῦ Κυρίου
τῶν παθῶν σαφῶς ἐγένου
διὰ σταυρώσεως.

**Δόξα. Ἦχος πλ. δ΄.**

**Τ**ὸν φωτισθέντα ὑπὸ τοῦ γλωσσοπυρσομόρφου
Πνεύματος καὶ φωτίσαντα τὰ πέρατα ἀστραπαῖς τῶν
αὐτοῦ φθεγμάτων,Βαρθολομαῖον τὸν Ἀπόστολον,
τιμήσωμεν ὡς φωστῆρα τῆς εὐσεβείας ἀείφωτον
καὶ ἐν κατανύξει αὐτῷ βοήσωμεν·
Ὁ τῇ αἴγλῃ τοῦ Παρακλήτου ἀεὶ ἐλλαμπόμενος,
ταῖς παμφώτοις σου πρεσβείαις ἡμᾶς καταφώτισον
τοὺς ἐν ἀγνωσίας ζόφῳ καθεύδοντας
καὶ ἀξίωσον ἀπολαῦσαι τῶν ὁλοφώτων τοῦ πόλου
σκηνωμάτων
τοὺς ἑορτάζοντας πόθῳ τὴν ἁγίαν μνήμην σου.

**Καὶ νῦν. Θεοτοκίον.** Δέσποινα, πρόσδεξαι....

Νῦν ἀπολύεις...**τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**

**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

**Δ**εῦτε πάντες Ἀπόστολον εὐφημήσωμεν
Βαρθολομαῖον τὸν πάνυ,
Ἰσραηλίτην σεμνόν,

ἐν ᾧ δόλος οὐχ εὑρέθη, ὥσπερ Κύριος
ἔφη, Ὃν Λόγον τοῦ Θεοῦ
ὡμολόγησεν αὐτὸς
ἐνώπιον τοῦ Φιλίππου
καὶ Ἰσραὴλ Βασιλέα,
θερμὰς λιτὰς αὐτοῦ αἰτούμενοι.

**Θεοτοκίον.** Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

**Ἀπόλυσις.**

******************************

## ΕΝ ΤΩ ΟΡΘΡΩ

**Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α´ Στιχολογίαν Κάθισμα.**

**Ἦχος α´. Τὸν τάφον Σου, Σωτήρ.**

Τὸν ἄδολον, ἁγνὸν
καὶ σεπτὸν Κανανίτην
τιμήσωμεν λαμπρῶς
μαθητὴν ὡς Κυρίου
σεμνὸν καὶ Ἀπόστολον
θαυμαστὸν ὡς τοῦ Πνεύματος
σκεῦος τίμιον
τοῦ Παναγίου βοῶντες·
Χαῖρε, πάνσοφε
Βαρθολομαῖε, Μαρτύρων
εὐτόλμων ἀκρώρεια.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Πιστῶν καταφυγή,
Παμμακάριστε Μῆτερ,
κατάπεμψον ἡμῖν
τοῦ Υἱοῦ σου ἐλέη
τοῖς σὲ μακαρίζουσι
σωτηρίας ὡς πρόξενον,
ὑπερύμνητε
Θεογεννῆτορ, μερόπων
καὶ ἰθύντειραν
ἀπλανεστάτην πρὸς πόλον
βροτείου συστήματος.

**Μετὰ τὴν β΄. Στιχολογίαν Κάθισμα.**
**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Χριστὸν ὡμολόγησας
Θεοῦ Πατρὸς ὡς Υἱὸν
εὐθὺς ὡς ἑώρακας
ἐν Γαλιλαίᾳ Αὐτὸν
καὶ τῆς διοράσεως
ἔγνως Αὐτοῦ τὸ βάθος,
μάκαρ Βαρθολομαῖε,
εὖχος σεπτῶν κηρύκων
καὶ σοφῶν Ἀποστόλων,
ὁ λόγων σου αὐγάσας βολαῖς
πᾶσαν ὑφήλιον.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Σεμνὴ Παμμακάριστε,
Μῆτερ Χριστοῦ τοῦ Θεοῦ,
τοῖς δούλοις σου βράβευσον
χαρὰν σοῦ θείου Υἱοῦ,
τὴν χάριν τὴν ἄφθονον
καὶ θεϊκὴν εἰρήνην,
Παναγία Παρθένε,
πόῤῥω ἡμῶν ταχέως
πολεμίων τὰ πλήθη
καὶ θλίψεων πολλῶν τὴν ἀχλὺν
ἀποδιώκουσα.

**Μετὰ τὸν Πολυέλεον Κάθισμα.**
**Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Τὸν μὴ πιθόμενον Φιλίππου ῥήμασι
γνωρίσαι Κύριον ὡς προερχόμενον
ἐκ τῆς δυσφήμου Ναζαρέτ, θεόπνουν Βαρθολομαῖον,
τὸν εὐθέως Κτίσαντος εἶτα ὁμολογήσαντα
Λόγον Τοῦτον πάνσεπτον εὐσχημόνως τιμήσωμεν
ὡς θείων Ἀποστόλων πυξίον, χαῖρε, αὐτῷ τρανῶς
βοῶντες.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου,

www.tezaurliturgic.ro


ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

**Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.**

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ...
**Στίχος.** Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

**Εὐαγγέλιον κατὰ Λουκᾶν (Κεφ. ι΄ 16 - 21 ).**
Εἶπεν ὁ Κύριος τοῖς αὐτοῦ μαθηταῖς· Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει...
**Ζήτει τῇ Η΄ Νοεμβρίου.**

**Δόξα.**Ταῖς τοῦ Ἀποστόλου πρεσβείαις, Ἐλεῆμον,...
**Καὶ Νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον,..

**Ἰδιόμελον. Ἦχος πλ. β΄.**
**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Τὸν κηρύξαντα τὴν εὐσέβειαν ἐν Ἀρμενίᾳ καὶ Ἰνδίᾳ
καὶ ἀθλήσει βεβαιώσαντα τὸν λόγον τῆς ἀληθείας,
Βαρθολομαῖον τιμήσωμεν τὸν Ἀπόστολον,
ὡς πηγὴν δαψιλεστάτην χαρίτων οὕτω λέγοντες·
Ὁ δεξάμενος ἐν Σιὼν τὴν ἔλλαμψιν τοῦ Παρακλήτου Πνεύματος
καὶ δι' Αὐτοῦ φωτίσας τοὺς ἐν ἀγνωσίας σκιᾷ καθεύδοντας,
φώτισόν μου τὰ σκότη
καὶ ὁδήγησόν με πρὸς φῶς ἀπαθείας καὶ νήψεως.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...

**Εἶτα ὁ Κανὼν τοῦ Ἀποστόλου, οὗ ἡ ἀκροστιχίς·**
**«Βαρθολομαίου, ἀνδρὸς ἀδόλου αἶνος. Χ. Μ. Μ.»**

**Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.**

Βλαστὸν ἱερώτατον,
Βαρθολομαῖον Ἀπόστολον,
Κανᾶ μακαρίσωμεν
ὡς Γαλιλαῖον σεπτόν,
χριστοκήρυκα
καὶ Μάρτυρα γενναῖον,

Σταυροῦ ὑπομείναντα
πάθος κατώδυνον.

Ἀπόστολε πάνσοφε,
Βαρθολομαῖε, τοῦ φίλου σου
Φιλίππου τοῦ σώφρονος,
ἀκούων λόγων Χριστῷ
ἦλθες τάχιστα,
τρισμάκαρ, ὑπαντῆσαι,
ἐξ ὅλης καρδίας σου
Ὧ ἠκολούθησας.

Ῥανίσιν ἱδρώτων σου,
Βαρθολομαῖε, κατήρδευσας
Ἰνδίας τὰ πέρατα
καὶ Ἀρμενίαν, σοφέ,
ἣν ἐπότισας
αἱμάτων σου τιμίων
ῥανίσιν, Ἀπόστολε
πνευματοφόρητε.

**Θεοτοκίον.**

Θεὸν καθικέτευε
τὸν σὸν Υἱόν, Παμμακάριστε,
ὑπὲρ τῶν τιμώντων σε
καὶ ἀνυμνούντων λαμπρῶς
θαυμασίων σου
τὸ πλῆθος, Θεοτόκε,
ἁγνὴ ἀειπάρθενε,
κόσμου προσφύγιον.

**ᾨδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.**

Ὁ γνήσιος μύστης εὐσεβείας,
Φιλίππου ὁ φίλος ὁ σεμνός,
Βαρθολομαῖε, ὄνομα
Κυρίου ἐμεγάλυνας
κηρύγματι ἐνθέρμῳ σου
καὶ πανακλίμῳ ἀθλήσει σου.

Λιπὼν Γαλιλαίαν σὺν Φιλίππῳ
καὶ τῇ Μαριάμνῃ τῇ αὐτοῦ
ὁμαίμονι ἐκήρυξας,

www.tezaurliturgic.ro


Βαρθολομαῖε πάνσοφε,
τὸ θεῖον Εὐαγγέλιον
εἰς δήμους Ἱεραπόλεως.

Οὐράνιον φῶς, Βαρθολομαῖε,
μετὰ τὴν σεπτὴν Πεντηκοστὴν
φωτίσαν σε ὡδήγησεν
εἰς ἔθνη σε ἀλήθειαν
κηρῦξαι Διδασκάλου σου,
Λόγου Θεοῦ τοῦ Παντάνακτος.

**Θεοτοκίον.**

Μητρόθεε Κεχαριτωμένη,
σεμνὴ Παμμακάριστε, πιστῶν
ἰθύντειρα πρὸς θέωσιν,
ψυχῆς νηός μου οἴακας
χερσὶ σεπταῖς σου βάστασον
ἐν ταῖς τοῦ βίου μου κλύδωσι.

**Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.**

Θεοτίμητε Βαρθολομαῖε,
Εὐαγγέλιον σεπτὸν κηρύξας
ἐν τοῖς ἔθνεσιν Ἀσίας καὶ ἄθλησιν
καθυπομείνας στεῤῥῶς ἀναδέδειξαι
παθῶν Χριστοῦ τοῦ Σωτῆρος ὁμόζηλος,
Ὃν ἱκέτευε ὑπὲρ τῶν ἀνευφημούντων σε
ἀπαύστως μελιῤῥύτοις μελῳδήμασι.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Παμμακάριστε Θεογεννῆτορ,
Μῆτερ ἄφθορε Θεοῦ τοῦ Λόγου,
ἡ ἀπαύστως εὐσεβεῖς ἐποπτεύουσα
ἐκ τῆς εὐκλείας σου ὕψους καὶ σκέπουσα
τοὺς μεγαλύνοντας σοῦ τὰ θαυμάσια,
ῥύου θλίψεων, κακώσεων καὶ στενώσεων
τοὺς πίστει καταφεύγοντας σῇ χάριτι.

**ᾨδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.**

Ἀποστόλων θεοσόφων
ὡραιότης, ὃν Ὕψιστος
ᾔνεσεν ὡς ἄνδρα

www.tezaurliturgic.ro


ἄδολον, ὑπὲρ θείας πίστεως,
Βαρθολομαῖε παμμάκαρ, ἐκοπίασας
καὶ ἐξέχεας
τὸ πολυτίμητον αἷμά σου.

Ἰσχυρόν, Βαρθολομαῖε,
ἔσχες σύμμαχον Κύριον
ἐν τοῖς σοῖς ἀγῶσι
πρὸς Εὐαγγελίου διάδοσιν
καὶ τῇ Αὐτοῦ θείᾳ χάριτι ἐφώτισας
τοὺς καθεύδοντας
ἐν ἀγνωσίᾳ, φωτόλαμπρε.

Ὁ τῶν Ἀρμενίων ἄναξ,
Ἀστυάγης, ἐσταύρωσε
σέ, Βαρθολομαῖε,
τὸν τῆς ἀληθείας Ἀπόστολον,
τοῦ Θεανθρώπου Χριστοῦ παθῶν ὁμόζηλον
ἀπολαύοντα
νῦν οὐρανίου λαμπρότητος.

**Θεοτοκίον.**

Ὑπερύμνητε Παρθένε,
Παμμακάριστε Δέσποινα,
Κεχαριτωμένη
Μῆτερ τοῦ Υἱοῦ τοῦ Παντάνακτος,
μὴ διαλίπῃς σοὺς δούλους κατοικτίρουσα
τοὺς ἐν κλύδωσι
καὶ ἐλεοῦσα σοὺς πρόσφυγας.

**Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.**

Ἀπαύστως ὑμνοῦμέν σε,
Βαρθολομαῖε πάντιμε,
τὸν ὁμολογήσαντα ἐν πίστει
καὶ παῤῥησίᾳ
πολλῇ τὸν Λόγον Θεοῦ,
Χριστόν, βασιλέα Ἰσραὴλ
καὶ Δεσπότην κτίσεως,
Γαλιλαῖε θεόσοφε.

Ναὲ ἁγιότητος,
Βαρθολομαῖε, βήμασι

πόθῳ ἠκολούθησας Κυρίου
καὶ ἀνεδείχθης
Αὐτοῦ σεμνὸς μαθητής,
ὁ ἄχρι θανάτου σταυρικοῦ
μεγαλύνας ὄνομα
τὸ Αὐτοῦ ὑπεράγιον.

Δραμὼν σὺν τῷ φίλῳ σου,
Φιλίπῳ, πνευματέμφορε,
καὶ τῇ Μαριάμνῃ, αὐταδέλφῳ
αὐτοῦ εὐψύχῳ,
Βαρθολομαῖε κλυτέ,
λαοὺς κατεφώτισας τῶν σῶν
λόγων ἀμαρύγμασι,
μάκαρ, Ἱεραπόλεως.

**Θεοτοκίον.**

Ῥοάς μου ἀπόσμηξον
δακρύων, Μητροπάρθενε,
μάκτρῳ ἀντιλήψεώς σου θείας
καὶ προστασίας
σῆς ἀνυστάκτου, ἁγνή,
ἁπάντων πιστῶν καταφυγή,

Παναγία Δέσποινα,
ἀγλαὴ Παμμακάριστε.

**Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.**

Ὁμολογήσας τὸν Κύριον
Θεοῦ Υἱὸν σαφῶς πᾶσιν ἔδειξας
τὴν ἐνοικοῦσάν σοι
χάριν, Κανᾶ θεῖον βλάστημα,
σεπτὲ Βαρθολομαῖε, σοφὲ Ἀπόστολε.

Σαλπίσας λόγον σωτήριον
εἰς ἔθνη τῆς Ἀσίας ἐσφράγισας
τὴν πολιτείαν σου,
Βαρθολομαῖε, δι’ αἵματος
τιμίου σου, παμμάκαρ,
Μάρτυς Ἀπόστολε.

**Ἀ**νοίξας κόρας καρδίας σου
Χριστός, Βαρθολομαῖε,ἠξίωσε
σὲ βλέπειν ἄῤῥητα,
βροτοὶ ἃ βλέπειν οὐ δύνανται,
Θεὸς Πατὴρ ἃ φίλοις
Αὐτοῦ ἡτοίμασε.

**Θεοτοκίον.**

**Δ**ωρεοδότην φιλάνθρωπον,
Χριστόν, ἡ ἀπειράνδρως κυήσασα,
Θεογεννήτρια,
δώρησαι πᾶσιν οἰκέταις σου
σὲ ἀνυμνολογοῦσιν
ἄμφω ὑγίειαν.

**Κοντάκιον. Ἦχος πλ΄ δ΄. Τῇ Ὑπερμάχῳ.**

**Β**αρθολομαῖον Κανανίτην εὐφημήσωμεν,
ὡς βασιλέα Ἰσραὴλ ὁμολογήσαντα
καὶ Υἱὸν Θεοῦ Ὑψίστου, τὸν Ναζωραῖον
Ἰησοῦν, παρ’ Οὗ τοὺς πόδας ἐμαθήτευσε
ταπεινῶς, ἁπλοῦν, φιλάρετον καὶ ἄδολον
ἄνδρα κράζοντες· Χαίροις, μάκαρ Ἀπόστολε.

**Ὁ Οἶκος.**

**Ἄ**δολε, Γαλιλαῖε
ἄνερ, Βαρθολομαῖε,
ἀλήθειαν ὁ κόσμῳ κηρύξας
καὶ παθῶν τοῦ Σωτῆρος Χριστοῦ
ἐν τῇ Ἀρμενίᾳ ἐποφθείς, ἔνθεε,
ὁμόζηλος, ἐπάκουσον
ἡμῶν πανευλαβῶς βοώντων·

Χαῖρε, κιθάρα τῆς ἀληθείας·
χαῖρε, κινύρα τῆς εὐσεβείας.

Χαῖρε, Γαλιλαῖε θεόφρον καὶ ἄδολε·
χαῖρε, πανωραῖε Ὑψίστου Ἀπόστολε.

Χαῖρε, ὅτι ὡμολόγησας τὸν Χριστὸν Θεοῦ υἱόν·
χαῖρε, ὅτι κατεφώτισας τῆς Ἀσίας τὸν λαόν.

Χαῖρε, τοῦ Παρακλήτου ὁ δεξάμενος λάμψιν·
χαῖρε, τοῦ Θεανθρώπου μεγαλύνας τὴν πίστιν.

Χαῖρε, βλαστὸς Κανᾶ ἱερώτατος·
χαῖρε, σκηπτὸς δριμὺς τοῦ ἀλάστορος.

Χαῖρε, πιστῶν πρὸς Χριστὸν ποδηγέτης·
χαῖρε, ἡμῶν πρὸς σκηνὰς πόλου δείκτης·

Χαίροις, μάκαρ Ἀπόστολε.

**Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς ΙΑ´ Ἰουνίου. Εἶτα λέγομεν.**

**Τ**ῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου Βαρθολομαίου.

**Στίχοι.**

**Ἐρχόμενος πρὸς Χριστόν, Βαρθολομαῖε,
σταυρὸν ὑπέμεινας καὶ δόξης ἐγεύσω.**

**Συναξάριον.**

**Ὁ** ἔνδοξος καὶ πανεύφημος ἀπόστολος Βαρθολομαῖος ὑπῆρξεν εἷς τῶν δώδεκα μαθητῶν τοῦ Θεανθρώπου Ἰησοῦ καταγόμενος ἐκ τῆς Κανᾶ τῆς Γαλιλαίας. Ὀνομάζεται καὶ Ναθαναήλ, ὡς ἀναφέρεται ἐν τῷ Εὐαγγελίῳ τοῦ Ἰωάννου, ἐν ᾧ ἀπουσιάζει τὸ ὄνομα Βαρθολομαῖος, ἐνῶ ἐν τοῖς συνοπτικοῖς Εὐαγγελίοις ὁμοῦ μετὰ Φιλίππου τοῦ Ἀποστόλου ἀναφέρεται μόνον Βαρθολομαῖος ἀπουσιάζοντος τοῦ ὀνόματος Ναθαναήλ.

Τὸν Ἀπόστολον Βαρθολομαῖον ἐκάλεσεν ἐν τῷ κύκλῳ τοῦ μαθητῶν τοῦ Χριστοῦ ὁ φίλος αὐτοῦ Φίλιππος λέγων· «Ὃν ἔγραψε Μωϋσῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται, εὑρήκαμεν Ἰησοῦν τὸν υἱὸν Ἰωσὴφ τὸν ἀπὸ Ναζαρέτ» (Ἰωάν. α´ 46). Ἡ ἀπάντησις τοῦ Βαρθολομαίου τότε ἦτο ἀποῤῥιπτικὴ καὶ παροιμιώδης· 'Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι»; (Ἰωάν. α´ 47), ἀλλὰ προσέκρουσεν ἐν τῇ ἐπιμονῇ τοῦ Φιλίππου λέγοντος· «Ἔρχου καὶ ἴδε» (Ἰωάν. α´ 47). Δι' αὐτὸν ὁ Χριστὸς εἶπε τῷ Φιλίππῳ· «Ἴδε ἀληθὴς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι» (Ἰωάν. α´ 48) καὶ ἀπευθυνόμενος πρὸς τὸν ἴδιον εἶπε μὲ τὴν θεϊκὴν αὐτοῦ διορατικότητα· «Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι ὄντα ὑπὸ τὴν συκῆν εἶδόν σε» (Ἰωά. α´ 49), διὰ νὰ δεχθῇ τὴν προφητικὴν τοῦ Βαρθολομαίου ὁμολογίαν· «Ῥαββί, Σὺ

εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, Σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ» (Ἰωάν. α´ 50).

Μετὰ τὴν Πεντηκοστὴν καὶ τὴν ἐπιφοίτησιν τοῦ Παναγίου Πνεύματος ὁ Ἀπόστολος Βαρθολομαῖος ἐδίδαξε τὴν ἀλήθειαν τοῦ Εὐαγγελίου ἐν Φρυγίᾳ καὶ Λυκαονίᾳ μετὰ Φιλίππου καὶ Μαριάμνης, τῆς αὐτοῦ ὁμαίμονος. Μετὰ τὴν μαρτυρικὴν τελευτὴν τοῦ Φιλίππου ἐν Ἱεραπόλει ἦλθε Χριστὸν κηρῦξαι ἐν Μεσοποταμίᾳ καὶ Ἰνδίᾳ καὶ ὁμοῦ μετὰ τοῦ Ἀποστόλου Ἰούδα ἐν Ἀρμενίᾳ, ἧς καὶ θεωρεῖται θεμελιωτὴς τῆς Ἐκκλησίας. Μαρτυρικῶς διὰ σταυρικοῦ θανάτου καὶ δὴ κατὰ κεφαλῆς ἐτελεύτησεν ἐν Οὐρβανουπόλει τῇ προσταγῇ τοῦ βασιλέως Ἀστυάγου.

Τὸ χαριτόβρυτον αὐτοῦ σκήνωμα κλεισθὲν ἐν μεταλλικῇ λάρνακι ἐῤῥίφη εἰς τὴν θάλασσαν καὶ προσωρμίσθη εἰς τὰς νήσους Λιπάρας τὰς ἐγγὺς τῆς Σικελίας, ἔνθα πλεῖστα ἐπετέλεσε καὶ ἐπιτελεῖ θαύματα καὶ ἔνθα μεγαλοπρεπὴς Ναὸν ἐδομήθη πρὸ αὐτοῦ τιμὴν καὶ δόξαν. Ἀργότερον τμήματα τῶν αὐτοῦ λειψάνων μετεκομίσθησαν εἰς Φραγκφούρτην καὶ Καντέρμπουρυ τῆς Ἀγγλίας.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**ᾨδὴ ζ´. Οὐκ ἐλάτρευσαν.**

Ὁ τὰ στίγματα
Κυρίου ἐν σαρκίῳ σου
φέρων ὑπέμεινας
ὥσπερ Ἐκεῖνος σταυρὸν
καὶ ἤθλησας ἄριστα,
πνευματοφόρητε,
κῆρυξ χάριτος
τῆς θείας διαπρύσιε,
εὐλαβὲς Βαρθολομαῖε.

Λαμπηδόσι σου
ῥημάτων κατεφώτισας
λαούς, Ἀπόστολε
Βαρθολομαῖε σεπτέ,
καὶ λόγων πυρσεύμασι
παμφαεστάτων σου
τοὺς καθεύδοντας
ἐν ἀγνωσίας, ἔνθεε

www.tezaurliturgic.ro


χριστοκῆρυξ, σκοτομήνῃ.

Ὄλβε πάντιμε
χαρίτων θείου Πνεύματος,
σοῦ θεῖον σκήνωμα
είς τῆς θαλάσσης ῥιφὲν
τὰ ὕδατα ἔφθασεν
είς νήσους, ἔνθεε
Μάρτυς πίστεως,
Λιπάρας, αἷς σῇ χάριτι
βοηθεῖς, Βαρθολομαῖε.

**Θεοτοκίον.**

Ὑμνῳδίαις σε
τιμῶμεν, Παμμακάριστε
καὶ μεγαλύνομεν
σῶν θαυμασίων πληθύν,
πιστῶν τὰ συστήματα,
Θεογεννήτρια,
τὰ προστρέχοντα
ἑκάστοτε σῇ χάριτι
καὶ ἑτοίμῃ προστασίᾳ.

**Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.**

Ἄδολε Ἰσραηλῖτα ἄνερ,
τρισμάκαρ Βαρθολομαῖε, περιώδευσας
σὺν Φιλίππῳ, φίλῳ σου
καὶ αὐτοῦ ὁμαίμονι,
Φρυγίαν, Ἱεράπολιν
καὶ τὴν ἐλάσσονα
Ἀσίαν ὑφηγούμενος πᾶσιν
ἤθη, χριστοκῆρυξ,
σεπτοῦ Εὐαγγελίου.

Ἵλεων ἡμῖν, Βαρθολομαῖε,
ἀπέργασαι Ἰησοῦν τοῖς ἀνυμνοῦσί σε
καὶ τιμῶσι μνήμην σου
τὴν σεπτήν, Ἀπόστολε,
Κανᾶ βλαστὲ θειότατε,
ὃν ἐσαγήνευσε
Χριστός, ὁ τὰς καρδίας μερόπων
καὶ νεφροὺς ἐτάζων,

Θεοῦ Ὑψίστου Λόγος.

**Ν**έκρωσον σαρκὸς ἡμῶν τὰ πάθη
καὶ ζώωσον πνεῦμα πάντων τῶν τιμώντων σε
ὡς σοφὸν Ἀπόστολον,
τὸν καθυπομείναντα
σταυρὸν διὰ τὸ ὄνομα
Χριστοῦ τὸ ἅγιον,
στεῤῥῶς ἐν Ἀρμενίᾳ, θεόφρον,
ὑπὸ βασιλέως
αὐτῆς, Βαρθολομαῖε.

**Θεοτοκίον.**

**Ὄ**μβρον θείας χάριτος θεόθεν
κατάπεμψον, Θεοτόκε, τοῖς ὑμνοῦσί σε
καὶ τὸ μέγα ἔλεος
τοῦ Υἱοῦ σου, Δέσποινα,
Κυρίου, Παμμακάριστε,
παντελεήμονος
καὶ ἄγαν φιλανθρώπου, Παρθένε,
Κεχαριτωμένη,
Κυρία Ἐλεοῦσα.

**Ὠδὴ θ΄. Ἅπας γηγενής.**

**Σ**τῦλε ἀῤῥαγὲς
Χριστοῦ θείας πίστεως,
ἡμᾶς στερέωσον
ἐν τῇ πίστει, Ἅγιε
Βαρθολομαῖε,
τοὺς μεγαλύνοντας
ἀγῶνας τοὺς τιμίους σου
πρὸς ἐπικράτησιν
ἀληθείας,
τοῦ σεπτοῦ ὀνόματος
Ἰησοῦ, τοῦ Υἱοῦ τοῦ Παντάνακτος.

**Χ**αῖρε, θεαυγὲς
Ἀπόστολε, κλέϊσμα
ἡμῶν τῆς πίστεως,
Γαλιλαῖε πάνσοφε,
Βαρθολομαῖε,
χαρίτων μέλαθρον,

οὗπερ ῥιφὲν τὸ σκήνωμα
μετὰ τὴν ἄθλησιν
τὴν τιμίαν
εἰς θαλάσσης ὕδατα
εἰς Λιπάρας τὰς νήσους κατέφθασεν.

**Μ**άρτυρος Θεοῦ
τὸ στέφος ἀπέλαβες
ὡς νίκης σύμβολον
κατ' ἐχθρῶν, Ἀπόστολε
Βαρθολομαῖε,
καὶ εἰσελήλυθας
εἰς δώματα οὐράνια
τῷ Διδασκάλῳ σου
συγχορεύειν
εἰς αἰῶνας ἅπαντας,
στεφοδότῃ Χριστῷ, ἄνερ ἔνδοξε.

**Θεοτοκίον.**

**Μ**ῆτερ τοῦ Θεοῦ,
σεμνὴ Παμμακάριστε,
σοὺς δούλους ἔμπλησον
χαρμονῆς τοὺς μέλποντας
Βαρθολομαίου
τὰ κατορθώματα
καὶ μελιχροῖς μελίσμασι
σὲ μακαρίζοντας
ὡς δοχεῖον
χάριτος πολύτιμον
καὶ τερπνὸν παρθενίας ἀλάβαστρον.

**Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.**

**Β**αρθολομαῖε τρισμάκαρ,
ὁ τὸν Χριστὸν Θεοῦ Υἱὸν
προθύμως ὁμολογήσας
καὶ βασιλέα Ἰσραήλ,
Αὐτοῦ ἐζήλωσας πάθος
τὸ τοῦ σταυροῦ, χριστοκῆρυξ.

**Θεοτοκίον.**

**Χ**αρᾶς τοῦ κόσμου αἰτία,
ἀλεξιτήριον σεπτὸν

τῶν λυπηρῶν οἰκετῶν σου
καὶ σκέπη πάντων εὐσεβῶν,
Θεογεννῆτορ, ὑψόθεν
ἡμᾶς ἀεὶ περιφρούρει.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος πλ. δ΄. Ὢ, τοῦ παραδόξου θαύματος !**

**Β**άθρον ἀκλινὲς τῆς πίστεως,
Βαρθολομαῖε σεπτέ,
τῆς Κανᾶ γόνε πάντιμε,
ὁ Χριστὸς ὡς εἶδέ σε
ἐγκωμίοις σε ἔστεψεν
Ἰσραηλίτην
καθάπερ ἄδολον
καὶ σὺν Φιλίππῳ
σὲ συνηρίθμησε
δήμῳ, Ἀπόστολε,
ἄνερ πνευματέμφορε,
τῶν μαθητῶν,
κηρυξάντων ὄνομα
Αὐτοῦ τὸ Ἅγιον.

**Σ**κεῦος τιμαλφὲς τοῦ Πνεύματος,
Βαρθολομαῖε κλυτέ,
ὡς Αὐτὸ ἐπεφοίτησεν
γλῶσσα οἷα ἔμπυρος
ἐπὶ σὲ ἀνεχώρησας
κηρῦξαι πᾶσι
λαοῖς ἀλήθειαν
Εὐαγγελίου
τὴν διασῴζουσαν
καὶ ἔθνη ἄπατα
προσελκῦσαι, πάνσοφε, εἰς τοῦ Χριστοῦ
πίστιν, ἧς Ἀπόστολος
ἐδείχθης πάνσοφος.

**Μ**νήμην τὴν σεπτήν σου σήμερον,
Βαρθολομαῖε, λαμπρῶς
ἐκτελοῦντες οἱ σύλλογοι
τῶν πιστῶν βοῶμέν σοι·
Χαῖρε, Μάρτυς Ἀπόστολε,

www.tezaurliturgic.ro


ὁ σὺν Φιλίππῳ
καὶ τῇ ὁμαίμονι,
τῇ Μαριάμνῃ,
αὐτοῦ τῇ σώφρονι,
εἰς Ἱεράπολιν
ὑπομείνας κρέμασιν ἐκ τῶν ποδῶν
διὰ τὴν εὐσέβειαν,
ἣν διεκήρυττες.

**Σ**κῆνος σοῦ τὸ χαριτόβρυτον,
Βαρθολομαῖε σεπτέ,
Ἀστυάγης ὁ ἄνομος
Ἀρμενίας, ἄλκιμε,
βασιλεὺς μετὰ σταύρωσιν
σοῦ τὴν τιμίαν
εἰς τὸ θαλάττιον
ἔῤῥιψε ῥεῦμα
καί, ὢ τοῦ θαύματος,
τοῦτο κατέφθασεν
εἰς Λιπάρας ἄφθαρτον
νήσους, πιστῶν
πρὸς αὐτῶν ἐνίσχυσιν
ἐν βίου κλύδωσι.

**Δόξα. Ἦχος πλ. α΄.**

**Ὁ** ἐκ Ναζαρὲτ τῆς δυσφήμου ὁρμώμενος ἠκολούθησας,
Ναζωραίῳ Ἰησοῦ, Λόγῳ Θεοῦ τοῦ Ὑψίστου,
τῷ διασήμῳ σε δείξαντι ἐν Ἀποστόλοις,
Βαρθολομαῖε θεόπνευστε·
ὅθεν τὴν μνήμην σου σήμερον περιχαρῶς ἑορτάζοντες
καὶ ὡς κήρυκα τοῦ Εὐαγγελίου διαπρύσιον
καὶ μάρτυρα ἄριστον μεγαλύνοντες
τὰς θεοπειθεῖς σου εὐχὰς ἐκδεχόμεθα
πρὸς προκοπὴν βίου καὶ ἀρετῆς ὁλοκλήρωσιν.

**Καὶ νῦν. Θεοτοκίον.**

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...

**Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.**

**********************

## ΕΝ ΤΗ͂Ι ΛΕΙΤΟΥΡΓΙΑ͂Ι

**Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἀποστόλου ἡ γ΄ καὶ ἡ στ΄ ᾠδή.**

**Ἀπόστολος: Πρὸς Κορινθίους Α΄ Ἐπιστολῆς. (Κεφ. δ΄ 9-16).**
Ἀδελφοί, δοκῶ ὅτι ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους ἀπέδειξεν....
**Ζήτει τῇ Ι΄ Κυριακῇ.**

**Εὐαγγέλιον κατὰ Ἰωάννην (Κεφ. α΄ 44 -52).**
Τῷ καιρῷ ἐκείνῳ ἠθέλησεν ὁ Ἰησοῦς ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν...
**Ζήτει τῇ Α΄ Κυριακῇ τῶν Νηστειῶν.**

**Κοινωνικόν.** Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ....

**Μεγαλυνάριον.**

**Χ**αίροις, ἄνερ τίμιε Ἰσραήλ,
ἐν ᾧ οὐχ ὑπάρχει
δόλος, ὥσπερ ἔφη Χριστός,
χαίροις, Ἀποστόλων
κρηπίς, Βαρθολομαῖε,
Εὐαγγελίου κῆρυξ
ἄχρις ἀθλήσεως.

**Δίστιχον.**

**Σοῦ φερωνύμου χάριν, Βαρθολομαῖε,
καμάτους σου ᾖσε σεπτοὺς Χαραλάμπης.**

**Σοῦ φερωνύμου χάριν, Βαρθολομαῖε,
Πατριάρχου ὕμνησέ σε Χαραλάμπης.**

**Τ Ε Λ Ο Σ**

**Κ Α Ι   Δ Ο Ξ Α**

**Τ Ω͂Ι   Μ Ο Ν Ω͂Ι   Α Λ Η Θ Ι Ν Ω͂Ι**

**Θ Ε Ω͂Ι   Η Μ Ω Ν**

